# Paraenesis

# Παραίνεσις

Ἀκούσατε ταῦτα ὑμεῖς υἱοὶ φωτὸς ὄντες καὶ φυλάξατε· βασιλείας γὰρ οὐρανῶν πρόξενος γενήσεται ὑμῖν ἡ παραίνεσις αὕτη. Γρηγορήσατε ἐν τοῖς λόγοις τούτοις, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Δυναμώθητε ἀπὸ ἀσθενείας κραταιούμενοι τῷ φόβῳ τοῦ Θεοῦ. Εὐχὴ ὑμῶν ἔστω καθαρὰ πρὸς τὸν Θεόν. Ἀλλὰ καὶ περὶ ἐμοῦ παρακαλῶ. Ζωῆς αἰωνίου κληρονόμοι τυγχάνετε, ἐὰν τῶν παραινέσεων τούτων μὴ ἀμελήσητε. Ἤτω ὑμῶν τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ· εὐαγγελικὸν τὸ παράγγελμα. Θάνατος ὑμῶν οὐ κυριεύσει· μεταβεβήκατε γὰρ ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἰησοῦς ἐστιν ἡ ζωὴ ὑμῶν, ᾗ κολληθέντες οὐκ ἀποθνήσκετε· κύριος γάρ ἐστι ζωῆς καὶ θανάτου, καὶ τοὺς ἐγγίζοντας πρὸς αὐτὸν ζωοποιεῖ. Λύει ἁμαρτήματα, καθαίρει ἀνομήματα τῶν ἐπικαλουμένων αὐτόν. Μετανοοῦντας θεραπεύει καὶ ἐπιστρέφοντας ἁγιάζει. Νοήσατε τοίνυν τῆς μετανοίας τὴν δύναμιν, καὶ πρὸς αὐτὴν οἱ ἡμαρτηκότες ἐπείχθητε. Ξένον γὰρ ὑμῖν τὸ τῆς ἁμαρτίας εἶδος, ὦ φίλοι Θεοῦ· οὐ γὰρ κυριεύσει τῆς νοητῆς ὑμῶν σαρκὸς ἡ ἁμαρτία, ἀφθαρσίαν ἐπανῃρημένοις. Πειρασμοῦ ἐκτὸς τυγχάνετε, ἀδελφοί, ἐπειδὴ πικρίας ἀπηλλάγητε, ῥήμασι θείοις πιστωθέντες. Τῶν γηΐνων κατεφρονήσατε, σταυρὸν ἐπὶ μετώπῳ προσλαβόντες, ἔχοντες φοβερὸν τῷ Διαβόλῳ θέαμα. Τιμήσαντες δικαιοσύνην καὶ ἁγνείαν τηρήσαντες ἐντὸς τοῦ παραδείσου ἤδη γεγόνατε.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.